p. 481 b. οὐ μεγάλη τίς μοι.

τὸ οὐ μεγάλη εἶπεν, ἐπειδὴ οἶδεν, ὅτι καὶ ἡ ῥητορικὴ κατὰ 10 τὸ σπάνιον ὑπὲρ δικαίου ποιεῖ, εἰ καὶ μὴ πρώτως, ἀλλὰ διὰ συμβεβηκὸς ἢ διὰ κέρδος ἢ δι' ἄλλο τι.

## XXV.

### *Πρᾶξις σὺν θεῷ κε'.*

p. 481 b. εἰπέ μοι, ὦ Χαιρεφῶν.

ὥσπερ ἐν τοῖς πρὸς Γοργίαν λόγοις τοῦ ποιητικοῦ αἰτίου 1 τῆς πολιτικῆς εὐδαιμονίας διδασκομένου ὁ λόγος ἐζήτησεν τὸ εἰδικὸν καὶ ἐν τῷ πρὸς Πῶλον ἀπεδόθη, ὅτι τὸ δίκαιόν ἐστιν, οὕτως ἐνταῦθα κατ' ἀρχὰς μὲν τὸ εἰδικὸν παραλαμβάνει, δείκνυσι δὲ τὸ τέλικον. ἐπειδὴ ὁ Καλλικλῆς τὴν ἡδονὴν ἐτίθετο τὴν αἰσχράν, αὐτὸς δὲ ἡδονὴν τὴν νοερὰν καὶ πρὸς τὸ θεῖον ἐκκαλοῦσαν. εἰκότως τοίνυν ταύτῃ τῇ τάξει ἐχρήσατο τῶν προσώπων, ἐπειδὴ οὐκ ἐδύνατο ἓν πρόσωπον πάντα ταῦτα ἐναντία ὄντα πρεσβεύειν· ὅθεν τοῦ Γοργίου εἰρηκότος, ὅτι θέλει ὁ ῥήτωρ ἐπιστήμων εἶναι τοῦ δικαίου, καὶ ἐλεγχθέντος καὶ μηκέτι δυναμένου τὸ ἐναντίον εἰπεῖν, ὅτι οὐκοῦν οὐ θέλει ἐπιστήμων εἶναι, ὁ Πῶλος τοῦτο λέγει. εἶτα πάλιν τοῦ Πώλου θέντος, ὅτι τὸ δίκαιον καλόν ἐστιν, ὡς ἂν πλησιάζοντος ὁπωσοῦν δήποτε ταῖς κοιναῖς ἐννοίαις, ὁ Καλλικλῆς πόρρω που ὢν λέγει, ὅτι ψεῦδος. οὐκ ἔστι γὰρ τὸ δίκαιον καλὸν ἀλλὰ τὸ ἄδικον· ἐπεὶ τοίνυν κατακεκράτηται ταύτῃ τῇ νόσῳ, πλειόνων χρεία ἐνταῦθα λόγων καὶ πλείονος μοχλίας· ὁ Καλλικλῆς τοίνυν ἀεὶ παιδιώδη βίον καὶ αἰσχρὸν ζῶν ἐρωτᾷ τὸν Χαιρεφῶντα ὡς μέσον ὄντα, ὅτι· ἆρα παίζει ὁ Σωκράτης ἢ σπουδάζων ταῦτα λέγει· ἐμφιλοσόφως τοίνυν ὁ Χαιρεφῶν ἀποκρίνεται καὶ λέγει· ὅτι ἐγὼ νομίζω ὑπερφυῶς αὐτὸν σπουδάζειν· ὑπὲρ φύσιν γάρ εἰσιν οἱ λόγοι· ὅμως δὲ πάρεστιν ὁ Σωκράτης καὶ ἐρώτα, εἰ σπουδάζει· ὁ Καλλικλῆς λέγει, ὅτι

---

15 Gorg. 454b  17 Gorg. 471a  27 481b

---

23 μοχλίας M fort. scrib. μοχλείας